UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

XXXIII. De Barsanuphio Monacho.

urn:nbn:de:hbz:466:1-14162

Visual Library

A

## Cap. XXXIII.

*De Barsanuphio Monacho.*

Isdem temporibus viri plane divini & admirabilium operum effectores, in variis orbis terrarum locis vixerunt. Sed quorum gloria ubique inclaruit, hi fere sunt. Barsanuphius Ægyptius genere, qui in carne vitam carnis expertem transegit in quodam Monasterio juxta oppidum Gazam, adeo ut plurima miracula perpetraverit quæ recensere difficile est: credaturque ab omnibus etiamnum vivere, in cellula reclusus: quamvis quinquaginta & amplius anni jam excesserint, ex quo nec visus est à quoquam, nec terrenum quidquam degustavit. Quæ cùm falsa esse crederet Eustochius Hierosolymorum Antistes, & cellulam in qua vir Dei sese incluserat, perfodi jussisset, ignis inde exsiliens universos propemodum, qui aderant, combussit.

## Cap. XXXIV.

*De Symeone Monacho, qui propter Christum stultitiam simulavit.*

Fuit etiam in Emisenorum urbe Symeones, qui inanis gloriæ fastum C omnem adeo exuerat, ut ab universis quibus erat ignotus, pro fatuo haberetur, licet omni genere sapientiæ & divinâ gratiâ abundaret. Porro hic Symeones seorsum ab aliis ut plurimum degebat, nullum omninò mortalium sinens cognoscere, quandonam aut quo modo Deum precaretur, nec quo tempore domi aut jejunaret aut cibum caperet. Interdum etiam in viis publicis, aut in foro agens è statu mentis deturbatus videbatur, nec prudentiæ ac solertiæ quidquam præ se ferre. Nonnunquam in tabernam irrepens, obviis cibis utebatur, dum esuriret, quod si quis inclinato capite eum salutasset, D ipse iratus illicò aufugiebat, metuens ne virtus ipsius à vulgo deprehenderetur. Et hoc quidem modo Symeones in foro se gerebat. Erant tamen quidam ejus familiares, quibuscum versari consueverat absque ulla simulatione. Ex his quidam ancillam habuisse dicitur, quæ cùm à nescio quo stuprata, prægnans esset, & cogeretur à dominis ut auctorem hujus flagitii nominaret, Symeonem clanculò cum ipsa rem habuisse dixit, & ex illo

## Κεφ. λγ´.

*Περὶ Βαρσανουφίου τοῦ ἀσκητοῦ.*

Γεγόνασι δὲ κατ' ἐκεῖνο καιροῦ ἄνδρες θεοφόροι καὶ μεγάλων σημείων ἐργάται, πολλαχοῦ μὲν γῆς· ὧν δὲ τὸ κλέος ἑκασταχοῦ διέλαμψε, Βαρσανούφιος Αἰγύπτιος γένος, οὕτως ἐν σαρκὶ, τὸν ἄσαρκον διήθλευσε βίον, ἔν τινι φροντιστηρίῳ ἄγχου Γάζης τοῦ πολίσματος· ὥστε πολλὰ μὲν καὶ μνήμης κρείττονα θαυματουργῆσαι· πεπίστευται δὲ καὶ ζῶν ἔτι ἐν οἰκίσκῳ καθειργμένος, καίτοι γε ὑπὲρ B τούτων πεντήκοντα, καὶ πρός γε χρόνων, ἔτι ὀφθέντα τῳ, οὔτε τῶν ἐπὶ γῆς τινος μεταληφότα· οἷς δυσαπιστῶν Εὐστόχιος ὁ τῶν Ἱεροσολύμων πρόεδρος, ἐπειδὴ διορύττειν ἔγνω τὸν οἰκίσκον οὗ καθεῖρκτο ὁ ἄνθρωπος τοῦ θεοῦ, πῦρ ἔκθορον μικροῦ τοὺς αὐτόσε πάντας ἐνέπρησε.

## Κεφ. λδ´.

*Περὶ Συμεὼν μοναχοῦ τοῦ διὰ Χριστὸν σαλοῦ.*

Γέγονε δὲ καὶ ἀνὰ τὴν Ἔμισαν, Συμεὼν ἀνὴρ οὕτω τὸν τῆς κενοδοξίας ἀποδυσάμενος C χιτῶνα, ὡς καὶ παράφορον παρὰ τοῖς οὐκ εἰδόσι δόξαι αὐτὸν εἶναι καίτοι γε πάσης σοφίας καὶ θείας χάριτος ἐμπεπλησμένος. οὗτος ὁ Συμεώνης τὰ πολλὰ μὲν αὐτὸς καθ' ἑαυτὸν διῆγετο, οὐδενὶ τὸ παράπαν ἄδειαν ἐνδιδοὺς εἰδέναι πότε τε ἢ ὅπως τὸ θεῖον ἱλάσκετο. μηδ' ὅτι τὰς ἀφεξῆς καὶ μεθεξῆς καθ' ἑαυτὸν τῶν τροφῶν ποιοῖτο ἀνέσεις. ἔστιν δὲ οὗ καὶ κατὰ τὰς λεωφόρους ἀγοράζων ἐκτετράφθαι τοῦ καθεστῶτος ἐδόκει, καὶ μηδὲν φρενῆρες ἢ αἰσχύνην ὅλως ἔχειν· καί τοι καὶ καπηλείῳ παρεισδὺς, ἐκ τῶν προστυχόντων ἐδεσμάτων ἢ σιτίων ἤσθιεν ὅτε πεινῴη. εἰ δέ τις ἐγκλίνας τὴν κεφαλὴν αὐτῷ προσεκύνησε, μετὰ D θυμοῦ καὶ τάχους τῶν τόπων ἐξίστατο, τὸ μὴ παρὰ πολλῶν φωραθῆναι τὴν οἰκείαν ἀρετὴν δεδιώς. καὶ τοιαῦτα μὲν τὰ κατὰ τὴν ἀγορὰν τῷ Συμεώνῃ. ἦσαν δέ τινες αὐτῷ συνήθεις οἷς καὶ προσενέβαλεν, οὐδὲν ὅλως ὑποκρινόμενος. τῶν τοίνυν συνήθων αὐτῷ ἑνί τινι θεράπαινα, ἡ πρός τινος ἐκπορνευθεῖσα καὶ κύουσα, ἐπειδὴ τὸν τοῦτο δεδρακότα πρὸς τῶν δεσποτῶν ἐξειπεῖν ἠναγκάζετο, τὸν Συμεώνην ἔλεγε σκοτίως αὐτῇ συμπλακῆναι, ἀπ' αὐτοῦ κυοφορεῖν,